Ακαδημία Αθηνών / Academy of Athens

*βίῳ εὐξύνετος ὀξυδερκείῃ κατιθύνει* 193 *φ ρ ο ν ή σ ι ο ς ἔργον μέλλουσαν ἀδικίην φυλάξασθαι.* Πρβλ. *νόησις, μῆτις, φροντίς.*

**φροντὶς 1.** Βιομέριμνα, life-care, Ξενοφάνης 8.2 *βληστρίζοντες ἐμὴν φ ρ ο ν τ ί δ' ἀν' Ἑλλάδα γῆν* **2.** Φροντίδα/μέριμνα, care/concern, Ἐμπεδοκλῆς 131.2 *εἰ γὰρ ἐφημερίων ἕνεκέν τινος, ἄμβροτε Μοῦσα, ἡμετέρας μελέτας ⟨ἅδε τοι⟩ διὰ φ ρ ο ν τ ί δ ο ς ἐλθεῖν, εὐχομένῳ νῦν αὖτε παρίστασο, Καλλιόπεια, ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι* 134.5 *φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, φ ρ ο ν τ ί σ ι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.* || Δημόκριτος 275 *τεκνοτροφίη σφαλερόν· τὴν μὲν γὰρ ἐπιτυχίην ἀγῶνος μεστὴν καὶ φ ρ ο ν τ ί δ ο ς κέκτηται, τὴν δὲ ἀποτυχίην ἀνυπέρθετον ἑτέρῃ ὀδύνῃ.*

**φρουρά.** Φρουρὰ/φυλακή, guard/prison, Φιλόλαος 15 *ὥσπερ ἐν φ ρ ο υ ρ ᾷ ... ὡς ἔν τινι φ ρ ο υ ρ ᾷ.*

**φυγάς.** Φυγὰς/ἐξόριστος, fugitive/exiled, Ἐμπεδοκλῆς 115.13 *φ υ γ ὰ ς θεόθεν καὶ ἀλήτης.*

**φυγή.** Ἐξορία, exile, Δημόκριτος 262 *οἳ φ υ γ ῆ ς ἄξια ἔρδουσιν ἢ δεσμῶν ... καταψηφιστέον καὶ μὴ ἀπολύειν.*

**φύειν.** Δημιουργῶ/φύω, create/bring forth, Ξενοφάνης 38.1 *εἰ μὴ χλωρὸν ἔ φ υ σ ε θεὸς μέλι, πολλὸν ἔφασκον γλύσσονα σῦκα πέλεσθαι.*|| Ἀναξαγόρας 4.9 *καὶ τὴν γῆν αὐτοῖσι φ ύ ε ι ν πολλά τε καὶ παντοῖα.* || **φύεσθαι 1.** Φύομαι/φυτρώνω, spring forth/sprout, Ξενοφάνης 29 *γῆ καὶ ὕδωρ πάντ' ἐσθ' ὅσα γίνοντ(αι) ἠδὲ φ ύ ο ν τ α ι* Διογένης 2.10 *οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φ ῦ ν α ι οὔτε ζῷον οὔτε ἄλλο γενέσθαι οὐδέν, εἰ μὴ οὕτω συνίστατο* **2.** Γίνομαι/ἀνακύπτω, become/emerge, Παρμενίδης 8.10 *τί δ' ἄν μιν καὶ χρέος ὦρσεν ὕστερον ἢ πρόσθεν, τοῦ μηδενὸς ἀρξάμενον, φ ῦ ν;* 10.6 *ἔνθεν [μὲν γὰρ] ἔ φ υ τε καὶ ὥς μιν ἄγουσ(α) ἐπέδησεν Ἀνάγκη* 19.1 *οὕτω τοι κατὰ δόξαν ἔ φ υ τάδε καί νυν ἔασι* Ἐμπεδοκλῆς 17.9 ⟨*οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φ ύ ε σ θ α ι*⟩ 26.8 *οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φ ύ ε σ θ α ι.* || Ἐμπεδο-